Ταρχανειώτην Συναδηνόν, τὸν ἐπ' ἀδελφῇ γαμβρὸν αὐτοῦ τὸν Στασηνόν, τὸν Μακρηνόν, καὶ ἄλλους εἰς πλῆθος τὸν ἀριθμόν. Παρετάθη δὲ ἡ ἐπιβουλὴ ἐς μακρόν· ἐν τῇ Λαμψάκῳ δὲ διάγων μανθάνει ὁ βασιλεὺς τὰ περὶ αὐτῆς, καὶ αὐτίκα τάς τε τριήρεις πυρὶ παραδέδωκεν, ὡς μὴ τοῖς Ἰταλοῖς ὑπὸ χεῖρα γένοιντο, καὶ τὰ πάντα παραδραμών, τῶν ἠκουτισμένων ἐπέσπευδε τὴν διόρθωσιν. Ἀφίκετο τοιγαροῦν εἰς τὰς Ὀχυράς, κἀκεῖ τὴν ἐξέτασιν τῆς ἐπιβουλῆς ἐποιήσατο· καὶ ἦσαν οἱ συνωμόται πάντες ταῖς δίκαις ὑπεύθυνοι. Ὁ βασιλεὺς δὲ φιλανθρωπότερον ἐπὶ τούτοις διατεθείς, ἢ ὡς οἱ νόμοι ἐκέλευον, τὸν μὲν Νεστόγγον Ἰσαάκιον ἐκτυφλώσει καταδικάζει καὶ χειρὸς ἐκκοπῇ, καὶ τὸν Μακρηνὸν ὡσαύτως, ἐληλεγμένον ὡς πολλάκις κατὰ νῶτα τυγχάνων τοῦ βασιλέως ὥρμησεν ἐφελκύσαι τὴν σπάθην καὶ καιρίαν τούτου κατενεγκεῖν· καὶ ἄλλους δέ τινας μικραῖς ποιναῖς καθυπέβαλλε, τοὺς πλείονας δὲ πρὸς καιρὸν ἐγκλεισάμενος, μετ' οὐ πολὺ καὶ τούτους ἀνῆκε τῆς φυλακῆς. Τὸν δὲ πρωταίτιον Νεστόγγον Ἀνδρόνικον, τὸν καὶ βασιλείας τυχεῖν ὀρεγόμενον, τῷ τῆς Μαγνησίας φρουρίῳ συνέκλεισεν· ἡ γὰρ τῆς ἀγάπης σχέσις ἣν εἶχε περὶ αὐτὸν βασιλεύς, ἐκώλυσε τοῦ κακοποιῆσαι αὐτόν, ὃς καὶ μετ' ὀλίγον ἀπέδρα, θελήσει τοῦ βασιλέως ὥσπερ ἐλέγετο, ἐλευθερώτερον διάγειν παρακελευσαμένου, καὶ οἱονεὶ κλέψαι τὴν σωτηρίαν βουλευσαμένου, ὅς περὶ τὰ τῶν Μουσουλμάνων ἐφώρμησε, κἀκεῖ διῆγε μέχρι τὸ βιοῦν ἐξεμέτρησε.

Τὸ δ' ἀπὸ τοῦδε περὶ ἑαυτοῦ πολλὴν ὁ βασιλεὺς ἐποιεῖτο φυλακήν, φρουρούς τε περὶ αὐτὸν ἔστησε καὶ τοὺς γνησίους ὑποβλεπόμενος· μάλιστα δὲ περὶ ταῦτα συνέτεινεν ἡ βασιλὶς Εἰρήνη, ἀνδρικώτερον ἔχουσα τὸ ἦθος καὶ τοῖς πᾶσι βασιλικώτερον ἐντυγχάνουσα.

Εἰς συμβάσεις δὲ καὶ οἱ Ἰταλοὶ ἐλθόντες ἀπέλυσαν τὸ τῶν Πηγῶν ἄστυ· καὶ οὕτως εἰρήνευσεν ὁ βασιλεὺς μετ' αὐτῶν, πάν-